# FRAGMENTA ALIVNDE NOTA

## 1 (281 Kock)

Stobaevs, *Eclogae* iv. 33. 13. *Μενάνδρου Κιθαριϲτῆι·*

*ᾤμην ἐγὼ τοὺϲ πλουϲίουϲ, ὦ Φανία,*
*οἷϲ μὴ τὸ δανείζεϲθαι πρόϲεϲτιν, οὐ ϲτένειν*
*τὰϲ νύκταϲ οὐδὲ ϲτρεφομένουϲ ἄνω κάτω*
*"οἴμοι" λέγειν, ἡδὺν δὲ καὶ πρᾶιόν τινα*
*ὕπνον καθεύδειν, ἀλλὰ τῶν πτωχῶν τινα.*
*νυνὶ δὲ καὶ τοὺϲ μακαρίουϲ καλουμένουϲ*
*ὑμᾶϲ ὁρῶ πονοῦνταϲ ἡμῖν ἐμφερῆ.*

Plutarchvs, *de tranquillitate animi* 466 a. *ἱκανῶϲ ὁ Μένανδροϲ ὑπομιμνήιϲκει λέγων "ᾤμην . . . καθεύδειν." εἶτα προϲδιελθὼν ὡϲ καὶ τοὺϲ πλουϲίουϲ ὁρᾶι ταὐτὰ πάϲχονταϲ τοῖϲ πένηϲιν,*

*ἆρ' ἐϲτὶ ϲυγγενέϲ τι λύπη καὶ βίοϲ;*
*τρυφερῶι βίωι ϲύνεϲτιν, ἐνδόξωι βίωι*
*πάρεϲτιν, ἀπόρωι ϲυγκαταγηράϲκει βίωι.*

## 2 (282 K)

Stobaevs, *Eclogae* iv. 32a. 2. *Μενάνδρου Κιθαριϲτῆι·*

*τὸ κουφότατόν ϲε τῶν κακῶν πάντων δάκνει,*
*πενία. τί γὰρ τοῦτ' ἐϲτίν; ἧϲ γένοιτ' ἂν εἷϲ*
*φίλοϲ βοηθήϲαϲ ἰατρὸϲ ῥαιδίωϲ.*

## 3 (283 K)

Stobaevs, *Eclogae* iii. 9. 17. *Μενάνδρου Κιθαριϲτῆι·*

*εἰ τοὺϲ ἀδικηθένταϲ, πάτερ, φευξούμεθα,*
*τίϲιν ἂν βοηθήϲαιμεν ἄλλοιϲ ῥαιδίωϲ;*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41693384X/170 UNIVERSITÄT LEIPZIG